Ephraem Syrus; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontifecis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)
1732 Seite 173



Πατέρων τελείων καὶ ἀσκητῶν ὁσίων. Ποῦ εἰσιν οἱ πατέρες; ποῦ εἰσιν οἱ ἅγιοι; ποῦ εἰσιν οἱ γρήγοροι; ποῦ εἰσιν οἱ νηφάλιοι; ποῦ εἰσιν οἱ ταπεινοί; καὶ ποῦ εἰσιν οἱ πραεῖς; ποῦ εἰσιν οἱ ἡσύχιοι; ποῦ εἰσιν οἱ ἐγκρατεῖς; ποῦ εἰσιν οἱ εὐλαβεῖς; καὶ ποῦ οἱ ἀκτήμονες; ποῦ οἱ κατανυκτικοὶ, εὐάρεστοι τῷ Θεῷ; οἵτινες ἑστήκεισαν ἐν προσευχῇ καθαρᾷ ἐνώπιον τοῦ Θεοῦ, ὡς Ἄγγελοι τοῦ Θεοῦ, βρέχοντες σχεδὸν τὴν γῆν, τῶν γλυκέων δακρύων καὶ τῆς κατανύξεως. Ποῦ εἰσι φιλόθεοι μεστοὶ ἀγάπης Θεοῦ, μὴ κτησάμενοι ὅλως τι φθαρτὸν ἐπὶ τῆς γῆς· ἀλλὰ σταυρὸν ἑαυτῶν αἴροντες διηνεκῶς, Σωτῆρα ἠκολούθουν, βαδίζοντες ἀσφαλῶς ἐν τῇ ὁδῷ τῇ στενῇ· προσέχοντες ἀκριβῶς μὴ ἐκπεσεῖν εἰς κρημνοὺς, ἐν ἐρήμῳ ἀβάτῳ ἀνύδρῳ καὶ σκοτεινῷ· ἀλλ' ἐν τῇ εὐθείᾳ ὁδῷ τῆς ἀληθείας τῶν ἐντολῶν τοῦ Θεοῦ, πλήρεις ἀεὶ φωτισμοῦ προσταγμάτων τοῦ Χριστοῦ, ὁδεύοντες ἐν καλῇ πολιτείᾳ, καὶ θερμῶς δουλεύοντες τῷ Θεῷ, θλιβέντες ἑκουσίως ἐν βίῳ τῷ ματαίῳ; Διὰ τοῦτο ὁ Θεὸς ἀγαπῶν αὐτοὺς λίαν ἐπεσυνάξεν αὐτοὺς εἰς λιμένα τῆς ζωῆς καὶ χαρὰν αἰώνιον, ἵν' ἐκεῖ ἀγάλλωνται καὶ ἐκεῖ τρυφήσωσιν ἐν παραδείσῳ τρυφῆς καὶ παστῷ οὐρανίῳ, νυμφίῳ ἀθανάτῳ ἐν χαρᾷ τῇ μεγίστῃ. Ἀπεδήμησαν ἔνθεν πρὸς Θεὸν τὸν ἅγιον, ἔχοντες τὰς λαμπάδας μεθ' ἑαυτῶν ἑτοίμους. Οὐκ ἔστι νῦν ἐν ἡμῖν ἐκείνων ἡ ἀρετὴ, οὐδ' ἔστιν ἐν ἡμῖν ἐκείνων ἡ ἄσκησις. Οὐκ ἔστι νῦν ἐν ἡμῖν ἐκείνων ἡ ἐγκράτεια, οὐκ ἔστι νῦν ἐν ἡμῖν ἐκείνων ἡ εὐλάβεια. Οὐκ ἔστι νῦν ἐν ἡμῖν ἐκείνων ἡ πραΰτης, οὐκ ἔστι νῦν ἐν ἡμῖν ἐκείνων ἡ ἀκτημοσύνη. Οὐκ ἔστι νῦν ἐν ἡμῖν ἐκείνων ἡ ἀγρυπνία, οὐδ' ἔστιν ἐν ἡμῖν ἀγάπη πρὸς τὸν Θεόν. Οὐκ ἔστι νῦν ἐν ἡμῖν εὐσπλαγχνία τοῦ Χριστοῦ, οὔτε ἐστὶν ἐν ἡμῖν συμπάθεια τῶν μελῶν. Ἀλλὰ πάντες ἦμεθα ἄγριοι, ἀνήμεροι, καὶ μὴ ἀνεχόμενοι ἀλλήλων τὸ παντελῶς. Βέλη πεπυρωμένα εἰσὶν αἱ γλῶσσαι ἡμῶν κατ' ἀλλήλων καθ' ὥραν. Πάντες τιμὴν ζητοῦμεν· πάντες φιλοδοξοῦμεν· πάντες φιλοκτήμονες· πάντες ἦμεθα χαῦνοι· πάντες ἐσμὲν ὑπνώδεις· πάντες ἐσμὲν σκολιοί· εἰς φλυαρίαν εὔτονοι, εἰς τὰς εὐχὰς ὀκνηροί· πλάζεσθαι αὐθαίρετοι, ἡσυχάσαι ἀσθενεῖς· εἰς τρυφὴν εὐπρόθυμοι, εἰς ἐγκράτειαν στυγνοί· εἰς τὴν ἀγάπην ψυχροὶ, καὶ εἰς τὸν θυμὸν θερμοί· εἰς ἀγαθὰ ὀκνηροὶ, καὶ εἰς κακὰ σπουδαῖοι. Τίς ἄρα μὴ θρηνήσει; καὶ τίς ἄρα μὴ κλαύσῃ τὴν διάθεσιν ἡμῶν τὴν πλήρη χαυνότητος; Ἐκεῖνοι οἱ πατέρες γενόμενοι πρὸ ἡμῶν χρήσιμοι

A Patribus perfectis, & sanctis Ascetis tam cito orbata es. Ubi sunt Patres? ubi sancti? ubi vigiles? ubi sobrii? ubi humiles? ubi mites? ubi quietis studiosi? ubi continentes? ubi pii ac religiosi? ubi paupertatis amantes? ubi corde compuncti, & grati acceptique Deo? qui quidem in pura atque syncera precatione coram Deo assistebant, tamquam Angeli Dei, madefacientes atque irrigantes propemodum terram imbribus dulcium lacrymarum & compunctionis.
B Ubi sunt amici illi Dei, caritate pleni, qui nihil prorsus corruptibile super terram possidentes, sed crucem suam jugiter tollentes, sequebantur Salvatorem, caute per angustam viam incedentes, sibique provide attendentes, ne in præcipitia inciderent, neque oberrarent in deserto invio & inaquoso atque caliginoso: sed per viam rectam veritatis mandatorum Dei pergerent, pleni semper lumine præceptorum Christi, ala-
C criter atque ardenter in bono vitæ instituto ambulantes Deoque inservientes, ac voluntarie in hoc vano sæculo afflicti? Propterea Deus vehementer eos diligens, in portum vitæ collegit ipsos, & in gaudium sempiternum: ut ibi exultent illicque cum magna voluptate perfruantur immortali sponso, in Paradiso deliciarum, cœlestique thalamo. Hinc quidem migrarunt, profecti ad Deum sanctum, habentes secum
D paratas lampades suas. Non est in nobis modo illorum virtus, neque in nobis jam est illorum exercitatio. Non est nunc in nobis illorum temperantia atque continentia. Non est in nobis modo illorum pietas atque religio. Non est inter nos jam illorum mansuetudo. Non est inter nos modo illorum voluntaria paupertas. Non sunt inter nos jam illorum vigiliæ. Non est in nobis illorum in Deum caritas atque dilectio. Non est
E in nobis modo illa Christi commiseratio: non est jam in nobis illa membrorum compassio. Sed cuncti jam sumus agrestes atque feroces, immites & atroces, nec ferre prorsus nos invicem possumus. Sagittæ ignitæ sunt linguæ nostræ in alterutrum singulis horis. Cuncti honorem quærimus. Cuncti vanam gloriam captamus. Cuncti avaritiæ studemus. Cuncti relaxati sumus. Cuncti somnolenti sumus. Omnes perversi,
F ad nugas expediti, ad preces fundendas pigri: ad vagandum alacres, ad quiescendum infirmi: ad delicias parati, ad temperantiam tristes: ad caritatem frigidi, ad iracundiam fervidi: ad bona segnes, ad mala studiosi ac diligentes. Quis igitur non lamentetur? quis non deploret conditionem nostram torpore ac negligentia plenam? Patres illi, qui nos præcesserunt, utiles-



http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0421
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg